PHOT. Lex. II 209 Naber, SUDA s. v. *Τευμησία* (IV 533, 24 Adler), APOSTOL. 16, 42 (Paroem. Gr. II 669, 9) *περὶ τῆς Τευμησίας ἀλώπεκος οἱ τὰ Θηβαϊκὰ γεγραφότες ἱκανῶς ἱστορήκασι καθάπερ Ἀριστόδημος* (FGrHist 383 F 2). *ἐπιπεμφθῆναι μὲν γὰρ ὑπὸ θεῶν τὸ θηρίον τοῦτο τοῖς Καδμείοις, διότι τῆς βασιλείας ἐξέκλειον τοὺς ἀπὸ Κάδμου γεγονότας. Κέφαλον δέ φασι τὸν Δηΐονος, Ἀθηναῖον ὄντα καὶ κύνα κεκτημένον, ὃν οὐδὲν διέφευγεν τῶν θηρίων, ὡς ἀπέκτεινεν ἄκων τὴν ἑαυτοῦ γυναῖκα Πρόκριν, καθηράντων αὐτὸν τῶν Καδμείων, διώκειν τὴν ἀλώπεκα μετὰ τοῦ κυνός. καταλαμβανομένους δὲ περὶ τὸν Τευμησὸν λίθους γενέσθαι τόν τε κύνα καὶ τὴν ἀλώπεκα· εἰλήφασι δ' οὗτοι τὸν μῦθον ἐκ τοῦ ἐπικοῦ κύκλου.* 5

°6 (p. 116 A.)

ὥς οἱ μὲν δαίνυντο βοῶν κρέα, καὐχένας ἵππων
ἔκλυον ἱδρώοντας, ἐπεὶ πολέμοιο κόρεσθην.

°7 (p. 116 A.)

θωρήσσοντ' ἄρ' ἔπειτα πεπαυμένοι ⟨ – ⏑⏑ – ⏓⟩
πύργων δ' ἐξεχέοντο, βοὴ δ' ἄσβεστος ὀρώρει.

6 (I) ARISTOPH. Pax 1282s [1–2] || (II) CERTAMEN HOM. HES. 9 (38, 7s Wil.) [1–2] || 7 ARISTOPH. Pax 1286s [1–2]

6 1 *δ* 15 *ὥς οἱ μὲν δαίνυντο* | *ι* 162 al. *δαινύμενοι κρέα* | *Θ* 231 *κρέα . . . βοῶν* || 2 *Θ* 543 *δ* 39 *οἱ δ' ἵππους μὲν λῦσαν ὑπὸ ζυγοῦ ἱδρώοντας* || 7 2 *Λ* 500 *βοὴ δ' ἄσβεστος ὀρώρει* (cf. *Λ* 530 *N* 169 al.) | *ω* 48 *βοὴ . . . ὀρώρειν*

5 dubium est utrum historia ad Epigonos an ad aliud carmen cycli Thebani pertineat || 7 *Πρόκνιν* Adler : *Πρόκνην* Sud. G : *Πρόκνον* Sud. A || 8 *Τελμησὸν* Sud. AV : *Τελμησσὸν* Sud. GM || cf. Hesych. s. v. *Τευμησία*, Et. M. 755, 54, Steph. Byz. s. v. *Τευμησσός*, Apollodor. Bibl. 2, 4, 6, Nicand. Coloph. fr. 97 (p. 125 Schneider), Plut. Brut. rat. uti 4 p. 988a, Paus. 9, 19, 1, Ov. Metam. 7, 762ss, Antonin. Liber. 41, 8 | sec. Corinn. fr. 19 Page Teumesiam vulpem necavit Oedipus; ap. Ps. Eratosth. Catast. 33 canis in sidus vertitur (cf. Hygin. Astr. 2, 35), de re cf. Schultz, Teumessischer Fuchs, Myth. Lex. V 429ss; Fiehn, Teumessos 1, RE V A 1 (1934) 1134; Vian, Origines de Thèbes 187 || 6 *ὥς οἱ μὲν δαίνυντο*] *δεῖπνον ἔπειθ' εἵλοντο* Certamen || 2 *πολέμοιο* (ed. Steph. : *πτολέμου* codd.) *κορέσθην* Certamen : *πολέμου ἐκορέσθην* Aristoph. | ex Epigonis hos versus desumptos esse suspectavit Allen, Homer 23s, cf. Homeri Opera V 116, prob. Powell, Coll. Alex. 248, sed in Certamine 9 (38, 7 Wil.) versus simillimi laudantur; de re vid. Busse, Rh. Mus. 64, 1909, 115s; Kirk, Class. Quart. 44, 1950, 150; West, Class. Quart. 17, 1967, 440s; Di Benedetto, Rend. Acc. Linc. VIII 24, 1969, 161ss || 7 e *Θ* 53–54 mutati sec. V. Leeuwen, comm. ad loc., prob. Platnauer, comm. ad loc. : ex Epigonis desumpti sec. Allen, vid. ad fr. 6; de re cf. et. Meyer, Hermes 27, 1892, 378ss; Kirk, Class. Quart. 44, 1950, 156; Di Benedetto, Rend. Acc. Linc. VIII 24, 1969, 161ss | vers. 2e *Π* 267 mutatum censuit Nauck, Bull. de l'Acad. Impér. St. Pétersb. 25, 1879, 105

FRAGMENTA FALSA

8

ἐκ μὲν Ἐριχθονίου ποτιμάστιον ἔσχεθε κοῦρον
Αὐτόλυκον, πολέων κτεάνων σίνιν Ἄργεϊ κοίλωι.

9

HIPPOCRATIS VITA BRUXELL. (prim. ed. Schöne, Rh. Mus. 58, 1903, 56) Podalirius et Macaon. quorum Macaon, ut plurimi tradunt, Troiae excidio vitam finivit nulla subole derelicta, Podalirius vero Sirnae consistens Rodi defecit, ut Antimachus memorat in †Thenito†, filios nactus duos, Rodonem et Ippolochon, ex Ifianassa, Ucalegontis filia.

ALCMAEONIS

Desunt testimonia de auctore. recte in saec. VI collocavit Wil., Hom. Unters. 73 adn. 2

8 SCHOL. Soph. Oed. Col. 378 (25, 1 De Marco) *πολλαχοῦ τὸ Ἄργος κοῖλόν φησι, καθάπερ καὶ ἐν Ἐπιγόνοις·* [Soph. fr. 190 Radt] *καὶ ἐν Θαμύριδι* (Radt : *Θαμυρία* **LR** : *Θυμερία* **M** : *Θαμύραι* Lascaris)· [1–2]

8 fragmentum false cyclico carmini Epigonis rettulit Kirchhoff, prob. Nauck[1] 145 (dubitavit Nauck[2]); Wil., Hom. Unters. 345 adn. 26; Powell, Coll. Alex. 247, at cf. Wil., Timotheos, Die Perser 101; Griech. Verskunst, Berlin 1921, 347; Radt ad Soph. fr. 190; 242 || 1 *ἄρα Χθονίου* coni. Wil. olim (Hom. Unters. 345 adn. 26), schol. Hom. τ 432 nisus, sed retractavit postea (Timotheos, Die Perser 101), cf. Et. M. 371, 49 *Ἐριχθόνιος· ὁ Ἑρμῆς : ἐξ Ἐριουνίου* coni. Weil | *ποτε Μασθίον* **M** : *ποτὶ Μωσθίον* **R** | *ἔσχεθεν* **M** : *ἔχεθεν* **R** || 2 *πολλέων* **RM** | *σίνιν* edd. : *σῖνιν* **L** : om. **RM** | sec. Rob. sequebatur 'ex Apolline autem Philammonem genuit' : e. g. *αὐτὰρ ἄμ' ἐκ Φοίβοιο Φιλάμμονα* coni. Powell || 9 Epigonis trib. Knaack, Berl. Phil. Wochenschr. 1903, 284; dub. Powell, Coll. Alex. 247 : Nostis Hux., Parola del Passato 64, 1959, 282s (vid. Nost. fr. 17), repugnante Jouan, Assoc. G. Budé, Actes Xe Congrès, Paris 1980, 88, vid. et. Antim. Coloph. fr. 150 Wyss || 3 Sirnae *Schöne* : Sime *cod.* (*cf. Theopomp. FGrHist 115 F 103, Steph. Byz. s. v. Σύρνα*) || 4 *ἐν ϑ' Ἐπιγό[νων] Knaack* (*cf. Powell, Coll. Alex. 247*) : *ἐν ϑ' Νόστων Hux.* : *de re cf. Jouan l. l.* | filios nactus *Schöne* : filistactus *cod.* || 4.5 Ifianassa, Ucalegontis *Schöne* : Ifiana sauca flegontis *cod.*

ΑΛΚΜΑΙΩΝΙΣ

auctor anonymus saec. VI in.

1 (1 K.)

ἔνθα μιν ἀντίθεος Τελαμὼν τροχοειδέι δίσκωι
πλῆξε κάρη, Πηλεὺς δὲ θοῶς ἐνὶ χειρὶ τινάξας
ἀξίνην ἐύχαλκον ἐπεπλήγει μέσα νῶτα.

2 (2 K.)

⟨—⏑̯—⏑⟩ νέκυς δὲ χαμαιστρώτου ἔπι τείνας
εὐρείης στιβάδος, παρέθηκ' αὐτοῖσι θάλειαν
δαῖτα ποτήριά τε, στεφάνους δ' ἐπὶ κρασὶν ἔθηκεν.

3 (3 K.)

πότνια Γῆ, Ζαγρεῦ τε θεῶν πανυπέρτατε πάντων

1 Schol. Eur. Andr. 687 (II 295, 11 Schw.) *ὁ τὴν Ἀλκμαιωνίδα πεποιηκώς φησι περὶ τοῦ Φώκου·* [1–3] || **2** Athen. 11, 460b *καὶ ὁ τὴν Ἀλκμαιωνίδα δὲ ποιήσας φησίν·* [1–3] || **3** (I) Et. Gud. s. v. *Ζαγρεύς* (578, 7 De Stefani) *ὁ μεγάλως ἀγρεύων, ὡς* [1] *ὁ τὴν Ἀλκμαιωνίδα γράψας ἔφη* || (II) Anecd. Oxon. II 443, 8 Cramer *Ζαγρεὺς ὁ μεγάλως ἀγρεύων·* [1]

1 1 *I* 623 *ἀντίθεος Τελαμωνιάδης* | Bacchyl. 9, 32 *δίσκον τροχοειδέα* || 2–3 *κ* 161–162 *μέσα νῶτα / πλῆξα* || 3 *N* 612 *ἀξίνην εὔχαλκον* || 2 1–2 Eur. Troad. 507 *στιβάδα πρὸς χαμαιπετῆ* || 2–3 *H* 475 *τίθεντο δὲ δαῖτα θάλειαν* | *γ* 420 Hymn. Merc. 480 *ἐς δαῖτα θάλειαν* || 3 Hymn. Hom. 6, 7 *κρατὶ δ' ἐπ' ἀθανάτωι στεφάνην εὔτυκτον ἔθηκαν* | Archestr. fr. 62, 1 Montanari (= Suppl. Hell. 192, 1) *αἰεὶ δὲ στεφάνοισι κάρη παρὰ δαῖτα πυκάζου* | Hes. Th. 578 *ἀμφὶ δέ οἱ στεφάνην . . . κεφαλῆφιν ἔθηκε* (cf. et. Cyp. fr. 5, 1–2 Xenophan. fr. 1 Gent.-Prato) || **3** Vita Hom. Herodotea 18 (11, 16 Wil.) *πότνια Γῆ* | Orph. fr. 57, 1 Kern *πότνια Γαῖα* | *Θ* 17 *θεῶν κάρτιστος ἁπάντων*

1 1 *μιν* Schw. : *κεν* **MNO** : *καὶ* **A** | *ἀντίθεος*] *θεος* ex corr. **M** : *αὐτόθεος* **A** | *τροχοειδέι* non Homericum (vid. Theogn. 7) | *κύκλω δίσκω* **A** || 2 *πλῆξαι* **M** | *ἐνὶ — τινάξας* Schw. : *ἀναχεῖρα τανύσας* **MNO** (unde *ἀνὰ χεῖρα τανύσσας* Kink.) : *ἀνὰ χεῖρα πετάσας* **A** || 3 *ἀξ . . . . . κον* **M** : *ἀξίνη εὐχάλκω* **A** (unde *ἀξίνηι ἐυχάλκωι* Kink.) | *ἐπεπλήγη* **N** | *μέγα* **O** || de re cf. Paus. 2, 29, 9, Schol. Pind. Nem. 5, 25a (III 92, 14 Drachm.), vid. et. Eitrem, Phokos 2, RE XX 1 (1941) 498ss; Seve., Cycle 234ss; Jouan, Euripide 61 || 2 1 *χαμαιστρώτους ἐπί τινας* **A** : corr. Welck. | *ἐπὶ κλίνας* Mein. || 2 *προέθηκ'* **A** : corr. Mein. | sec. Athen. Alcmaeonis carmen posterius quam Simonidis opera || 3 *δαῖτα* Fiorillo : *δὲ τὰ* **A** | *στεφάνους*] cf. Schol. Hom. *N* 736a (III 537 Erbse) *στέφανος δὲ ὁ κύκλος . . . οὐδένα γὰρ οἶδε στεφανούμενον ὁ ποιητής*, cf. Eust. in Il. p. 958, 1 | *τ' ἐπὶ* **A** : corr. Kaib. || *χαμαιστρώτου, στιβάδος, ποτήρια* non Homerica | de re cf. Rohde, Psyche 204 adn. 2; Legras, Légendes Thébaines 109; Seve., Cycle 135s; 236s (qui credit Athenaeum hos versus per Aristarchum cognovisse) | Hux., Greek epic 53 (coll. Apollodor. Bibl. 3, 7, 3) putavit hunc locum exequias Laodamantis Aegialeique post Epigonorum expeditionem narravisse; subiectum ergo Alcmaeo || 3 *ὦ πότνια* Anecd. Oxon. | *πάντων* om. Anecd. Oxon. | de Zagreo cf. Callim. fr. 43, 117 Pf. et adn. ad loc., West, Orphic Poems

4 (4 K.)

APOLLODOR. Bibl. 1, 8, 5 *Τυδεὺς δὲ ἀνὴρ γενόμενος γενναῖος ἐφυγαδεύθη, κτείνας, ὡς μέν τινες λέγουσιν, ἀδελφὸν Οἰνέως Ἀλκάθοον, ὡς δὲ ὁ τὴν Ἀλκμαιωνίδα γεγραφώς, τοὺς Μέλανος παῖδας ἐπιβουλεύοντας Οἰνεῖ, Φηνέα Εὐρύαλον Ὑπέρλαον Ἀντίοχον Εὐμήδην Στέρνοπα Ξάνθιππον Σθενέλαον.*

5 (5 K.)

STRAB. 10, 2, 9 p. 452 *ὁ δὲ τὴν Ἀλκμαιωνίδα γράψας, Ἰκαρίου, τοῦ Πηνελόπης πατρός, υἱεῖς γενέσθαι δύο, Ἀλυζέα καὶ Λευκάδιον, δυναστεῦσαι δ' ἐν τῆι Ἀκαρνανίαι τούτους μετὰ τοῦ πατρός· τούτων οὖν ἐπωνύμους τὰς πόλεις Ἔφορος λέγεσθαι δοκεῖ* (FGrHist 70 F 124).

6 (6 K.)

SCHOL. Eur. Or. 995 (I 197, 27 Schw.) *ἀκολουθεῖν ἂν δόξειε τῶι τὴν Ἀλκμαιωνίδα πεποιηκότι εἰς τὰ περὶ τὴν ἄρνα, ὡς καὶ Διονύσιος ὁ κυκλογράφος* (FGrHist 15 F 7) *φησί. Φερεκύδης* (FGrHist 3 F 133) *δὲ οὐ καθ' Ἑρμοῦ μῆνίν φησι τὴν ἄρνα ὑποβληθῆναι, ἀλλὰ Ἀρτέμιδος. ὁ δὲ τὴν Ἀλκμαιωνίδα γράψας τὸν ποιμένα τὸν*
5 *προσαγαγόντα τὸ ποίμνιον τῶι Ἀτρεῖ Ἀντίοχον καλεῖ.*

7 (7 p. 313 K.)

PHILODEM. De piet. (P. Hercul. 1609 IV 8ss, p. 51 Gomperz) *κα[ὶ τῆς ἐπ]ὶ Κρόνου ζω[ῆς εὐ]δαιμονεστά[της οὔσ]ης, ὡς ἔγραψ[αν Ἡσί]οδος* (Op. 90ss) *καὶ ὁ τὴν [Ἀλκμ]εωνίδα ποή[σας.*

* *

FRAGMENTA DVBIA

°8

(I) SCHOL. Hom. λ 326 (508, 7 Dind.) *λαβοῦσα δὲ ἡ Ἐριφύλη τὸν ὅρμον παρὰ τοῦ Πολυνείκους τὸν τῆς Ἁρμονίας, προέθετο τοῖς περὶ τὸν Ἄδραστον βιαζομένοις τὸν Ἀμφιάραον ἰδόντα τὴν τῶν δώρων ὑποδοχὴν καὶ πολλὰ τὴν Ἐριφύλην αἰτιασάμενον, αὐτὸν μὲν ἐξορμῆσαι πρὸς τὴν στρατείαν, Ἀλκμαίωνι δὲ προστάξαι μὴ πρότερον μετὰ*
5 *τῶν ἐπιγόνων ἐπὶ Θήβας πορεύεσθαι πρὶν ἀποκτεῖναι τὴν μητέρα. ταῦτα δὲ πάντα δρᾶσαι λέγεται τὸν Ἀλκμαίωνα καὶ διὰ τὴν μητροκτονίαν μανῆναι. τοὺς δὲ θεοὺς ἀπολῦσαι τῆς νόσου αὐτὸν διὰ τὸ ὁσίως ἐπαμύνοντα τῶι πατρὶ τὴν μητέρα κατακτεῖναι. ἡ ἱστορία παρὰ Ἀσκληπιάδηι* (FGrHist 12 F 29) || (II) EUST. in Od. p. 1689, 10

152ss; vid. et. Wil., Hom. Unters. 214 adn. 13 || contextum explicare conatus est Hux., Greek epic 52

4 3 *Φινέα* Heyne | *Περίλαον* Heyne | *Ἀντιόχην* **A** : corr. Faber || 4 *Στέροπα* Heyne | *Σθενέαλον* **A** : corr. Heyne | de re cf. Seve., Cycle 228 || **5** Alyzei et Leucadii mentio nos certiores facit carmen recentioris aetatis esse; id recte post annum 600 collocavit Wil., Hom. Unters. 73 adn. 2, vid. et. Legras, Légendes Thébaines 108 || **6** cf. Schol. Hom. *B* 104b (I 200 Erbse) *πέπλασται οὖν τοῖς νεωτέροις τὰ περὶ Οἰνόμαον καὶ τὴν χρυσῆν ἄρνα*, Apollodor. Epit. 2, 10ss, Schol. Hom. *B* 105 (I 79, 28 Dind. = FGrHist 4 F 157), vid. et. Seve., Cycle 229ss || **7** omnia suppl. Gomperz || 2 vel *ἔγραψ[εν* Gomperz : *εγραν* delin. || 3 *της* delin. || **8** Alcmaeonidi trib. Bethe, Alkmaionis, RE I 2 (1894) 1563, prob. Rob., Heldens. 956s, vid. et. Seve., Cycle 227s || 3–4 *αἰτιασάμενος αὐτὸν καὶ* **V** : corr. Barnes

ἐπέταξεν (sc. ὁ Ἀμφιάραος τῶι Ἀλκμαίωνι), ὁπότ' ἂν ἡβήσηι, μὴ πρότερον μετὰ τῶν ἐπιγόνων εἰς Θήβας ἐλθεῖν, πρὶν ἢ κτεῖναι τὴν μητέρα, ὃ καὶ ποιήσας ὁ Ἀλκμαίων ἐτιμωρήθη μὲν παρὰ Ἐριννύων, καθὰ καὶ Ὀρέστης, ἀπελύθη δὲ αὖθις οἷα τιμωρήσας πατρί.

°9

(I) Strab. 10, 2, 25 p. 461 Ἔφορος (FGrHist 70 F 123a) δ' οὔ φησι συστρατεῦσαι (sc. ἐπὶ Ἴλιον τοὺς Ἀκαρνᾶνας)· Ἀλκμαίωνα γὰρ τὸν Ἀμφιάρεω, στρατεύσαντα μετὰ Διομήδους καὶ τῶν ἄλλων ἐπιγόνων καὶ κατορθώσαντα τὸν πρὸς Θηβαίους πόλεμον, συνελθεῖν Διομήδει καὶ τιμωρήσασθαι μετ' αὐτοῦ τοὺς Οἰνέως ἐχθρούς· παραδόντα δ' ἐκείνοις τὴν Αἰτωλίαν, αὐτὸν εἰς τὴν Ἀκαρνανίαν παρελθεῖν καὶ ταύτην καταστρέφεσθαι. Ἀγαμέμνονα δ' ἐν τούτωι τοῖς Ἀργείοις ἐπιθέμενον κρατῆσαι ῥαιδίως, τῶν πλείστων τοῖς περὶ Διομήδη συνακολουθησάντων. μικρὸν δ' ὕστερον ἐπιπεσούσης τῆς ἐπ' Ἴλιον ἐξόδου, δείσαντα, μὴ ἀπόντος αὐτοῦ κατὰ τὴν στρατείαν ἐπανελθόντες οἴκαδε οἱ περὶ τὸν Διομήδη — καὶ γὰρ ἀκούεσθαι μεγάλην περὶ αὐτὸν συνεστραμμένην δύναμιν — κατάσχοιεν τὴν μάλιστα προσήκουσαν αὐτοῖς ἀρχήν — τὸν μὲν γὰρ Ἀδράστου, τὸν δὲ τοῦ πατρὸς εἶναι κληρονόμον —, ταῦτα δὴ διανοηθέντα καλεῖν αὐτοὺς ἐπί τε τὴν τοῦ Ἄργους ἀπόληψιν καὶ τὴν κοινωνίαν τοῦ πολέμου. τὸν μὲν οὖν Διομήδη πεισθέντα μετασχεῖν τῆς στρατείας, τὸν δὲ Ἀλκμαίωνα ἀγανακτοῦντα μὴ φροντίσαι· διὰ δὲ τοῦτο μηδὲ κοινωνῆσαι τῆς στρατείας μόνους τοὺς Ἀκαρνᾶνας τοῖς Ἕλλησι . . . ὁ μὲν οὖν Ἔφορος πρὸ τῶν Τρωϊκῶν ἤδη τὴν Ἀκαρνανίαν ὑπὸ τῶι Ἀλκμαίωνι ποιήσας τό τε Ἄργος τὸ Ἀμφιλοχικὸν ἐκείνου κτίσμα ἀποφαίνει καὶ τὴν Ἀκαρνανίαν ὠνομάσθαι φησὶν ἀπὸ τοῦ παιδὸς αὐτοῦ Ἀκαρνᾶνος, Ἀμφιλόχους δὲ ἀπὸ τοῦ ἀδελφοῦ Ἀμφιλόχου, ὥστε ἐκπίπτει εἰς τὰ παρὰ τὴν Ὁμηρικὴν ἱστορίαν λεγόμενα. Θουκυδίδης (2, 68, 3) δὲ καὶ ἄλλοι (Ps. Scymn. 455ss) τὸν Ἀμφίλοχον ἀπὸ τῆς στρατείας τῆς Τρωϊκῆς ἐπανιόντα, οὐκ ἀρεσκόμενον τοῖς ἐν Ἄργει, ταύτην οἰκῆσαί φασι τὴν χώραν, οἱ μὲν κατὰ διαδοχὴν ἥκοντα τῆς τοῦ ἀδελφοῦ δυναστείας, οἱ δ' ἄλλως ‖ (II) Strab. 7, 7, 7 p. 325 μετὰ δὲ τὴν Ἀμβρακίαν τὸ Ἄργος ἐστὶ τὸ Ἀμφιλοχικόν, κτίσμα Ἀλκμαίωνος καὶ τῶν παίδων. Ἔφορος (FGrHist 70 F 123b) μὲν οὖν φησι τὸν Ἀλκμαίωνα μετὰ τὴν ἐπιγόνων ἐπὶ τὰς Θήβας στρατείαν παρακληθέντα ὑπὸ Διομήδους συνελθεῖν εἰς Αἰτωλίαν αὐτῶι καὶ συγκατακτήσασθαι ταύτην τε καὶ τὴν Ἀκαρνανίαν. καλοῦντος δ' αὐτοὺς ἐπὶ τὸν Τρωϊκὸν πόλεμον Ἀγαμέμνονος τὸν μὲν Διομήδη πορευθῆναι, τὸν δ' Ἀλκμαίωνα μείναντα ἐν τῆι Ἀκαρνανίαι τὸ Ἄργος κτίσαι, καλέσαι δ' Ἀμφιλοχικὸν ἐπώνυμον τοῦ ἀδελφοῦ, Ἴναχον δὲ τὸν διὰ τῆς χώρας ῥέοντα ποταμὸν εἰς τὸν κόλπον ἀπὸ τοῦ κατὰ τὴν Ἀργείαν προσαγορεῦσαι.

°10

Thuc. 2, 102, 5s λέγεται δὲ καὶ Ἀλκμέωνι τῶι Ἀμφιάρεω, ὅτε δὴ ἀλᾶσθαι αὐτὸν μετὰ τὸν φόνον τῆς μητρός, τὸν Ἀπόλλω ταύτην τὴν γῆν χρῆσαι οἰκεῖν ὑπειπόντα οὐκ εἶναι λύσιν τῶν δειμάτων, πρὶν ἂν εὑρὼν ἐν ταύτηι τῆι χώραι κατοικίσηται, ἥτις ὅτε ἔκτεινε τὴν μητέρα μήπω ὑπὸ ἡλίου ἑωρᾶτο μηδὲ γῆ ἦν, ὡς τῆς γε ἄλλης αὐτῶι μεμιασμένης. ὁ δ' ἀπορῶν, ὥς φασι, μόλις κατενόησε τὴν πρόσχωσιν ταύτην τοῦ

11 καθὰ καὶ Ὀρέστης] de re cf. Delcourt, Oreste et Alcméon, Paris 1959 ‖ cf. Apollodor. Bibl. 3, 6, 2 τοῖς παισὶν ἐντολὰς ἔδωκε τελειωθεῖσι τήν τε μητέρα κτείνειν καὶ ἐπὶ Θήβας στρατεύειν, Diod. 4, 65, 6 ἐντολὰς δὲ ἔδωκεν Ἀλκμαίωνι τῶι υἱῶι μετὰ τὴν ἑαυτοῦ τελευτὴν ἀνελεῖν τὴν Ἐριφύλην. οὗτος μὲν οὖν ὕστερον κατὰ τὰς τοῦ πατρὸς ἐντολὰς ἀνεῖλε τὴν μητέρα καὶ διὰ τὴν συνείδησιν τοῦ μύσους εἰς μανίαν περιέστη ‖ 9 ex Alcmaeonide sec. Immisch, Klaros 182ss; Bethe, Alkmaionis, RE I 2 (1894) 1563; Rob., Heldens. 964, vid. et. Jac. comm. ad FGrHist 70 F 123; Andersen, Symb. Osl. 57, 1982, 13ss ‖ 10 ex Alcmaeonide sec. Hux., Greek epic 51, vid. et. Bethe, Theb. Held. 136

Ἀχελώιου. καὶ ἐδόκει αὐτῶι ἱκανὴ ἂν κεχῶσθαι δίαιτα τῶι σώματι ἀφ' οὗπερ κτείνας τὴν μητέρα οὐκ ὀλίγον χρόνον ἐπλανᾶτο. καὶ κατοικισθεὶς ἐς τοὺς περὶ Οἰνιάδας τόπους ἐδυνάστευσέ τε καὶ ἀπὸ Ἀκαρνᾶνος παιδὸς ἑαυτοῦ τῆς χώρας τὴν ἐπωνυμίαν ἐγκατέλιπεν. τὰ μὲν οὖν περὶ Ἀλκμέωνα τοιαῦτα λεγόμενα παρελάβομεν.

°11

Apollodor. Bibl. 3, 7, 2 *οἱ δὲ ἡγεμόνα Ἀλκμαίωνα ἑλόμενοι Θήβας ἐπολέμουν. ἦσαν δὲ οἱ στρατευόμενοι οἵδε· Ἀλκμαίων καὶ Ἀμφίλοχος Ἀμφιαράου, Αἰγιαλεὺς Ἀδράστου, Διομήδης Τυδέως, Πρόμαχος Παρθενοπαίου, Σθένελος Καπανέως, Θέρσανδρος Πολυνείκους, Εὐρύαλος Μηκιστέως.*

CYPRIA

TESTIMONIA

1 Suda s. v. *Ὅμηρος* (III 525, 26 Adler)

γήμας ἐν Χίωι Ἀρησιφόνην τὴν Γνώτορος τοῦ Κυμαίου θυγατέρα ἔσχεν υἱεῖς δύο καὶ θυγατέρα, ἣν ἔγημε Στασῖνος ὁ Κύπριος . . . (526, 4) *ἀναφέρεται δ' εἰς αὐτὸν* (sc. *Ὅμηρον*) *καὶ ἄλλα τινὰ ποιήματα . . . Κύκλος, ὕμνοι, Κύπρια.*

2 Aelian. V. H. 9, 15

λέγεται δὲ κἀκεῖνο πρὸς τούτοις, ὅτι ἄρα ἀπορῶν (sc. *Ὅμηρος*) *ἐκδοῦναι τὴν θυγατέρα ἔδωκεν αὐτῆι προῖκα ἔχειν τὰ ἔπη τὰ Κύπρια· καὶ ὁμολογεῖ τοῦτο Πίνδαρος* (fr. 265 Sn.-Maehl.).

de re cf. Lloyd-Jones, *Στασῖνος Δ'*, 1973, 116

3 Tzetz. Chil. 13, 630

Σερίφων καὶ Θεόλαος υἱοὶ δὲ τοῦ Ὁμήρου,
θυγάτηρ Ἀρσιφόνη δέ, ἣν ἔγημε Στασῖνος,
Στασῖνος ὁ τὰ Κύπρια συγγράμματα ποιήσας,
ἅπερ οἱ πλείους λέγουσιν Ὁμήρου πεφυκέναι,
εἰς προῖκα δὲ σὺν χρήμασι δοθῆναι τῶι Στασίνωι.

cf. Tzetz. in Lycophr. Alex. 511 (fr. 15)

11 ex Alcmaeonide sec. Bethe, Alkmaionis, RE I 2 (1894) 1563, cf. nominum differentiam ap. Schol. Hom. *Δ* 406a (I 517 Erbse); vid. et. Diod. 4, 66ss || 4 *Εὐρύαλος* Heyne : *Εὐρύπυλος* A

4 Herodt. 2, 117

κατὰ ταῦτα δὲ τὰ ἔπεα καὶ τόδε τὸ χωρίον (*Z* 289–292, *δ* 227–230; 351–352) *οὐκ ἥκιστα, ἀλλὰ μάλιστα δηλοῖ ὅτι οὐκ Ὁμήρου τὰ Κύπρια ἔπεά ἐστι ἀλλ' ἄλλου τινός· ἐν μὲν γὰρ τοῖσι Κυπρίοισι εἴρηται ὡς . . .* (sequitur fr. 14)

5 Aristot. Poet. 1459a 37

οἱ δ' ἄλλοι (sc. praeter Homerum) *περὶ ἕνα ποιοῦσι καὶ περὶ ἕνα χρόνον καὶ μίαν πρᾶξιν πολυμερῆ, οἷον ὁ τὰ Κύπρια* (Castelvetro : *Κυπρικὰ Ξ*) *ποιήσας καὶ τὴν μικρὰν Ἰλιάδα* (Test. 7). *τοιγαροῦν ἐκ μὲν Ἰλιάδος καὶ Ὀδυσσείας μία τραγωιδία ποιεῖται ἑκατέρας ἢ δύο μόναι, ἐκ δὲ Κυπρίων πολλαί.*

6 Schol. Dionys. Thrac. Art. gramm. (I 471, 34 Hilgard, cf. Anecd. Oxon. IV 315, 20 Cramer)

οὐ γὰρ κρίνει, εἰ καλῶς αὐτοῖς γέγραπται ἢ οὔ, ἀλλ' εἰ νόθα ἢ γνήσια· πολλὰ γὰρ νοθευόμενά ἐστιν, ὡς ἡ Σοφοκλέους Ἀντιγόνη, . . . Ὁμήρου (*ὁμοίως* Anecd. Oxon.) *τὰ Κυπριακὰ καὶ ὁ Μαργίτης.*

7 Phot. Bibl. 319a 34 (V 157 Henry) = Procl. Chrest. 22 (I 2, 37 Seve.)

λέγει δὲ καὶ περί τινων Κυπρίων ποιημάτων, καὶ ὡς οἱ μὲν ταῦτα εἰς Στασῖνον ἀναφέρουσι Κύπριον, οἱ δὲ Ἡγησῖνον τὸν Σαλαμίνιον αὐτοῖς ἐπιγράφουσιν, οἱ δὲ Ὅμηρον γράψαι, δοῦναι δὲ ὑπὲρ τῆς θυγατρὸς Στασίνωι καὶ διὰ τὴν αὐτοῦ πατρίδα Κύπρια τὸν πόνον ἐπικληθῆναι. ἀλλ' οὐ τίθεται ταύτηι τῆι αἰτίαι· μηδὲ γὰρ Κύπρια προπαροξυτόνως ἐπιγράφεσθαι τὰ ποιήματα.

de re cf. Seve., Recherches I 1, 103s

8 Athen. 15, 682d

ἀνθῶν δὲ στεφανωτικῶν μέμνηται ὁ μὲν τὰ Κύπρια ἔπη πεποιηκώς, Ἡγησίας ἢ Στασῖνος (lac. ind. Welck. : ⟨*ἢ Κύπριος*⟩ Wil.). *Δημοδάμας δ'* (Hecker : *γὰρ* A) *ὁ Ἁλικαρνασσεὺς ἢ Μιλήσιος ἐν τῶι περὶ Ἁλικαρνασσοῦ* (FGrHist 428 F 1) *Κυπρία* (id est genet. e *Κυπρίας* ut auctoris nom.) *Ἁλικαρνασσέως* (Hecker : *Κύπρια, Ἁλ. δ'* A : emend. alii alia) *αὐτὰ εἶναί φησι ποιήματα.*

vid. Seve., Recherches I 2, 96s

9 Athen. 8, 334b

ὁ τὰ Κύπρια ποιήσας ἔπη, εἴτε Κύπριός (fort. *Κυπρίας* Seve.) *τίς ἐστιν ἢ Στασῖνος ἢ ὅστις δή ποτε χαίρει ὀνομαζόμενος* . . . (sequitur fr. 9)

cf. Suda s. v. *οἶνος* (vid. fr. 17) *ὁ δὲ Κύπριος ποιητής*

10 Schol. Clem. Alex. Protr. 2, 30, 5 (305, 33 Stählin)

Κυπριακὰ ποιήματα] *Κύπρια ποιήματά εἰσιν τὰ τοῦ κύκλου· περιέχει δὲ ἁρπαγὴν Ἑλένης· ὁ δὲ ποιητὴς αὐτῶν ἄδηλος· εἷς γάρ ἐστι τῶν κυκλικῶν.* quae sequuntur vid. ad Cycl. Test. 11

11 Michael Italicus ap. Anecd. Oxon. III 189, 21 Cramer (cf. Seve., Recherches I 1, 320ss)

εἶπον ἂν καὶ . . . τίνα . . . Στασίνωι τὰ Κύπρια κτλ. plura invenies ap. Cycl. Test. 16

Cypria Stasino tribuunt et. Procl. (arg.), Clem. Alex. (fr. 33), Stob. (fr. 18), Schol. Hom. (fr. 1), Schol. Plat. (fr. 18), Mant. Prov. (fr. 18); Homero Plat.? (fr. 18), Plutarchus? (fr. 18), Plinius? (fr. 39), Hygin. (fr. 15): sine auctoris (auctorum ap. Schol. Hom. cf. fr. 27) nomine cett. Allen, Homer 62 adn. 1 coll. Tab. Borg. dub. Cypria Arctino trib.: seq. Cassola, Stud. It. Filol. Class. 26, 1952, 141ss; Georgiadis, *Στασῖνος Δ'*, 1973, 189, Hymni Ven. auctor idem atque Cypriorum poeta: haec demonstranda sunt. cf. et. Seve., Recherches I 2, 93ss

Titulus: *Κυπριακά* sec. Clem. Alex. (fr. 8), Eust. (fr. 17), Schol. Eur. (frr. 12; 34): saepissime *Κύπρια*: *Cypria Ilias* sec. Naevium (fr. 6); de tituli variatione cf. Steph. Byz. s. v. *Κύπρος* (396, 6 Mein.) *τὸ ἐθνικὸν Κύπριος . . . καὶ Κυπριακός*. Perizonius in Ael. V. H. 9, 15 titulum sic explicat: *cum ad Venerem, propriam Cypri deam, pleraque referantur in his carminibus . . . inde igitur carmina haec appellata videntur Cypria*, cf. et. Rzach, Kyklos, RE XI 2 (1922) 2379s; Jouan, Euripide 24ss; Xydas 13ss

ARGVMENTVM

Procl. Chrest. 80 Seve.

ἐπιβάλλει τούτοις τὰ λεγόμενα Κύπρια ἐν βιβλίοις φερόμενα ἕνδεκα, ὧν περὶ τῆς γραφῆς ὕστερον ἐροῦμεν, ἵνα μὴ τὸν ἑξῆς λόγον νῦν ἐμποδίζωμεν. τὰ δὲ περιέχοντά ἐστι ταῦτα.

Ζεὺς βουλεύεται μετὰ τῆς Θέμιδος περὶ τοῦ Τρωϊκοῦ πολέμου. παρα-
5 *γενομένη δὲ Ἔρις εὐωχουμένων τῶν θεῶν ἐν τοῖς Πηλέως γάμοις νεῖκος*

4 *Θέμιδος* Heyne : *Θέτιδος* ℓ, def. Kullmann, Philologus 99, 1955, 181 adn. 1, at cf. Jouan, Euripide 47 | de Themide vaticinatrice cf. Harrison, Themis, ²1963, 480ss, vid. et. Plat. Resp. 379e *θεῶν ἔριν τε καὶ κρίσιν διὰ Θέμιτός τε καὶ Διός*

περὶ κάλλους ἀνίστησιν Ἀθηνᾶι, Ἥραι καὶ Ἀφροδίτηι, αἳ πρὸς Ἀλέξανδρον ἐν Ἴδηι κατὰ Διὸς προσταγὴν ὑφ' Ἑρμοῦ πρὸς τὴν κρίσιν ἄγονται· καὶ προκρίνει τὴν Ἀφροδίτην ἐπαρθεὶς τοῖς Ἑλένης γάμοις Ἀλέξανδρος. ἔπειτα δὲ Ἀφροδίτης ὑποθεμένης ναυπηγεῖται, καὶ Ἕλενος περὶ τῶν μελλόντων αὐτοῖς προθεσπίζει, καὶ ἡ Ἀφροδίτη Αἰνείαν συμπλεῖν αὐτῶι κελεύει. καὶ Κασσάνδρα περὶ τῶν μελλόντων προδηλοῖ. 10

ἐπιβὰς δὲ τῆι Λακεδαιμονίαι Ἀλέξανδρος ξενίζεται παρὰ τοῖς Τυνδαρίδαις, καὶ μετὰ ταῦτα ἐν τῆι Σπάρτηι παρὰ Μενελάωι· καὶ Ἑλένηι παρὰ τὴν εὐωχίαν δίδωσι δῶρα ὁ Ἀλέξανδρος. καὶ μετὰ ταῦτα Μενέλαος εἰς Κρήτην ἐκπλεῖ, κελεύσας τὴν Ἑλένην τοῖς ξένοις τὰ ἐπιτήδεια παρέχειν, 15 *ἕως ἂν ἀπαλλαγῶσιν. ἐν τούτωι δὲ Ἀφροδίτη συνάγει τὴν Ἑλένην τῶι Ἀλεξάνδρωι, καὶ μετὰ τὴν μίξιν τὰ πλεῖστα κτήματα ἐνθέμενοι νυκτὸς ἀποπλέουσι. χειμῶνα δὲ αὐτοῖς ἐφίστησιν Ἥρα. καὶ προσενεχθεὶς Σιδῶνι ὁ Ἀλέξανδρος αἱρεῖ τὴν πόλιν. καὶ ἀποπλεύσας εἰς Ἴλιον γάμους τῆς Ἑλένης ἐπετέλεσεν.* 20

6 Rob., Heldens. 1073 hanc historiam Hellenisticam censet: recte contradixit Seve., Mélanges Grégoire 584 adn. 2 || cf. Apollodor. Epit. 3, 2 *διὰ δὴ τούτων μίαν αἰτίαν μῆλον* (glossa antiqua pro *νεῖκος* sec. Wagner, Epitoma Vaticana, Leipzig 1891, 173, de re cf. et. Rob., Heldens. 1073 adn. 6; Seve., Phoibos 5, 1950, 157, contra Wil., Hermes 65, 1930, 241s; Bethe, Hermes 66, 1931, 239s) *περὶ κάλλους Ἔρις ἐμβάλλει Ἥραι καὶ Ἀθηνᾶι καὶ Ἀφροδίτηι* | de Thetidis et Pelei divortio et de Achille a Chirone educato (quae probabiliter in Cypriis narrabantur) cf. Seve., Cycle 254ss; Robertson, Class. Rev. 1940, 177–180; Jouan, Euripide 90ss || vid. frr. °35–°36 || 7 de re cf. Apollodor. Epit. 3, 2 *καὶ κελεύει Ζεὺς Ἑρμῆν εἰς Ἴδην πρὸς Ἀλέξανδρον ἄγειν, ἵνα ὑπ' ἐκείνου διακριθῶσι. αἱ δὲ ἐπαγγέλλονται δῶρα δώσειν Ἀλεξάνδρωι, Ἥρα μὲν πασῶν προκριθεῖσα βασιλείαν πάντων, Ἀθηνᾶ δὲ πολέμου νίκην, Ἀφροδίτη δὲ γάμον Ἑλένης. ὁ δὲ Ἀφροδίτην προκρίνει*, cf. *Ω* 25ss, Eur. Troad. 924ss, Iph. Aul. 1290ss, Hel. 23ss, Androm. 274ss, Hygin. fab. 92, Serv. in Aen. 1, 27 | de donis quae ante iudicium dea quaeque Paridi pollicita est cf. Rob., Heldens. 1072; Seve., Mélanges Grégoire 586; Harrison, Proleg. to the Study of Greek Religion, ³1922, 298 adn. 1; Jouan, Euripide 103ss | vid. et. Schol. Hom. *Ξ* 194 (III 604 Erbse) *νεωτερικὴ οὖν ἡ κρίσις*, Schol. Hom. *Δ* 52 (I 454 Erbse) *οὐ διὰ τὸ ἀποκεκρίσθαι ὑπὸ Ἀλεξάνδρου τὸ κάλλος αὐτῶν, ὅπερ οὐκ οἶδεν Ὅμηρος*, de re cf. et. Stinton, Euripides and the Judgement of Paris, London 1965, 51ss || 9 cf. fr. °37 || 11 de Cassandrae vaticiniis cf. Schol. Hom. *Ω* 699 (V 632 Erbse) *οὐ γὰρ οἶδεν αὐτὴν* (sc. *Κασσάνδραν*) *μάντιν ὁ ποιητής* | Bethe, Troisch. Epenkreis 231s apud Cypr. Cassandram non vaticinari putavit: contradixit Seve., Mélanges Grégoire 587 adn. 1, cf. et. Cycle 266 | de re vid. et. Pind. Pae. 8 A, 10ss et Rzach, Kyklos, RE XI 2 (1922) 2383 || 13 cf. Apollodor. Epit. 3, 3 *ἐφ' ἡμέρας δ' ἐννέα ξενισθεὶς παρὰ Μενελάωι, τῆι δεκάτηι πορευθέντος εἰς Κρήτην ἐκείνου κηδεῦσαι τὸν μητροπάτορα Κατρέα, πείθει τὴν Ἑλένην ἀπαγαγεῖν σὺν ἑαυτῶι. ἡ δὲ ἐνναέτη Ἑρμιόνην καταλιποῦσα, ἐνθεμένη τὰ πλεῖστα τῶν χρημάτων, ἀνάγεται τῆς νυκτὸς σὺν αὐτῶι*, P. Mus. Brit. 1873 (7) 21, 22 (Milne, Cat. of the Lit. Pap. in the Brit. Mus., London 1927, 19) || 18 cf. Apollodor. Epit. 3, 4 *Ἥρα δὲ αὐτοῖς ἐπιπέμπει χειμῶνα πολύν, ὑφ' οὗ βιασθέντες προσίσχουσι Σιδῶνι. εὐλαβούμενος δὲ Ἀλέξανδρος μὴ διωχθῆι, πολὺν διέτριψε χρόνον ἐν Φοινίκηι καὶ Κύπρωι. ὡς δὲ ἀπήλπισε τὴν δίωξιν, ἦκεν εἰς Τροίαν μετὰ Ἑλένης*, vid. et. *Z* 289ss, Schol. Hom. *Z* 291 et fr. 14

ἐν τούτωι δὲ Κάστωρ μετὰ Πολυδεύκους τὰς Ἴδα καὶ Λυγκέως βοῦς ὑφαιρούμενοι ἐφωράθησαν. καὶ Κάστωρ μὲν ὑπὸ τοῦ Ἴδα ἀναιρεῖται, Λυγκεὺς δὲ καὶ Ἴδας ὑπὸ Πολυδεύκους. καὶ Ζεὺς αὐτοῖς ἑτερήμερον νέμει τὴν ἀθανασίαν. καὶ μετὰ ταῦτα Ἶρις ἀγγέλλει τῶι Μενελάωι τὰ γεγονότα
25 *κατὰ τὸν οἶκον. ὁ δὲ παραγενόμενος περὶ τῆς ἐπ' Ἴλιον στρατείας βουλεύεται μετὰ τοῦ ἀδελφοῦ, καὶ πρὸς Νέστορα παραγίνεται Μενέλαος. Νέστωρ δὲ ἐν παρεκβάσει διηγεῖται αὐτῶι ὡς Ἐπωπεὺς φθείρας τὴν Λυκούργου θυγατέρα ἐξεπορθήθη, καὶ τὰ περὶ Οἰδίπουν καὶ τὴν Ἡρακλέους μανίαν καὶ τὰ περὶ Θησέα καὶ Ἀριάδνην.*
30 *ἔπειτα τοὺς ἡγεμόνας ἀθροίζουσιν ἐπελθόντες τὴν Ἑλλάδα. καὶ μαίνεσθαι προσποιησάμενον Ὀδυσσέα ἐπὶ τῶι μὴ θέλειν συστρατεύεσθαι ἐφώρασαν, Παλαμήδους ὑποθεμένου τὸν υἱὸν Τηλέμαχον ἐπὶ κόλασιν ἐξαρπάσαντες. καὶ μετὰ ταῦτα συνελθόντες εἰς Αὐλίδα θύουσι. καὶ τὰ περὶ τὸν δράκοντα καὶ τοὺς στρουθοὺς γενόμενα δείκνυται καὶ Κάλχας*
35 *περὶ τῶν ἀποβησομένων προλέγει αὐτοῖς.*

ἔπειτα ἀναχθέντες Τευθρανίαι προσίσχουσι καὶ ταύτην ὡς Ἴλιον ἐπόρθουν. Τήλεφος δὲ ἐκβοηθεῖ Θέρσανδρόν τε τὸν Πολυνείκους κτείνει

21 *Λυγκέως* Heyne : *Λυγγέως* ***FH** : *Λυγέως* **i** || **23** *Λυγκεὺς* Heyne : *Λυγγεὺς* ***F** *Λυγεὺς* **Hi** | de re cf. frr. 11; 15 || **25** cf. Apollodor. Epit. 3, 6 *Μενέλαος δὲ αἰσθόμενος τὴν ἁρπαγὴν ἧκεν εἰς Μυκήνας πρὸς Ἀγαμέμνονα, καὶ δεῖται στρατείαν ἐπὶ Τροίαν ἀθροίζειν καὶ στρατολογεῖν τὴν Ἑλλάδα* | fortasse in Cypriis Helenae procorum iuramentum (de quo cf. Isocr. Hel. 39s, Apollodor. Bibl. 3, 10, 8s) narrabatur, cf. Bethe, Troisch. Epenkreis 234s; Helene 3, RE VII 2 (1912) 2832s; Kullmann, Quellen 138ss; Seve., L'Ant. Class. 30, 1961, 542; Jouan, Euripide 159s || **28** *Λύκου* coni. Heyne | de Lycurgi filia ab Epopeo prodita cf. Paus. 2, 6, 1, Apollodor. Bibl. 3, 5, 5, Hygin. fab. 7 | de Nestoris digressu cf. Jouan, Euripide 373ss || **29** de Theseo et Ariadna cf. Schol. Hom. *λ* 321 (= Pherecyd. FGrHist 3 F 148); Seve., Cycle 282s Pherecydem historiam a Cypriis mutuatum esse putat, vid. et. Schol. Hom. *λ* 325 (507, 5 Dind.) || **30** cf. Apollodor. Epit. 3, 7 *ὁ δὲ* (sc. *Ὀδυσσεύς*) *οὐ βουλόμενος στρατεύεσθαι προσποιεῖται μανίαν. Παλαμήδης δὲ ὁ Ναυπλίου ἤλεγξε τὴν μανίαν ψευδῆ, καὶ προσποιησαμένωι μεμηνέναι παρηκολούθει· ἁρπάσας δὲ Τηλέμαχον ἐκ τοῦ κόλπου τῆς Πηνελόπης ὡς κτενῶν ἐξιφούλκει. Ὀδυσσεὺς δὲ περὶ τοῦ παιδὸς εὐλαβηθεὶς ὡμολόγησε τὴν προσποίητον μανίαν καὶ στρατεύεται* (cf. Frazer adn. ad loc.), Philostr. Heroic. 33, 4 de Lannoy *τὸν δὲ λόγον, ὃς πολλοῖς τῶν ποιητῶν εἴρηται, ὡς στρατεύοι μὲν ἐπὶ Τροίαν ἡ Ἑλλάς, Ὀδυσσεὺς δὲ ἐν Ἰθάκηι μανίαν πλάττοιτο καὶ πρὸς ἀρότρωι εἴη βοῦν ἵππωι συμβαλών, Παλαμήδης τε αὐτὸν ἐλέγξειε τῶι Τηλεμάχωι, οὗ φησιν ὑγιᾶ εἶναι*, vid. et. Soph. *Ὀδυσσ. μαινόμ.* (II 115s Pearson, p. 378 Radt), Eust. in Od. p. 1956, 18; Rob., Heldens. 1091s; Seve., Cycle 145; 284; Szarmach, Eos 62, 1974, 39ss || **34** cf. *B* 299–330, Cic. De div. 2, 30; 63–65, Ovid. Met. 12, 11ss, Apollodor. Epit. 3, 15 *ὅτι ὄντος ἐν Αὐλίδι τοῦ στρατεύματος, θυσίας γενομένης Ἀπόλλωνι, ὁρμήσας δράκων ἐκ τοῦ βωμοῦ παρὰ τὴν πλησίον πλάτανον, οὔσης ἐν αὐτῆι νεοττιᾶς, τοὺς ἐν αὐτῆι καταναλώσας στρουθοὺς ὀκτὼ σὺν τῆι μητρὶ ἐνάτηι λίθος ἐγένετο. Κάλχας δὲ εἰπὼν κατὰ Διὸς βούλησιν γεγονέναι αὐτοῖς τὸ σημεῖον τοῦτο, τεκμηράμενος ἐκ τῶν γεγονότων ἔφη δεκαετεῖ χρόνωι δεῖν Τροίαν ἁλῶναι* || **36** cf. Apollodor. Epit. 3, 17 *ἀγνοοῦντες δὲ τὸν ἐπὶ Τροίαν πλοῦν Μυσίαι προσ-*

καὶ αὐτὸς ὑπὸ Ἀχιλλέως τιτρώσκεται. ἀποπλέουσι δὲ αὐτοῖς ἐκ τῆς Μυσίας χειμὼν ἐπιπίπτει καὶ διασκεδάννυνται. Ἀχιλλεὺς δὲ Σκύρωι προσσχὼν γαμεῖ τὴν Λυκομήδους θυγατέρα Δηϊδάμειαν. 40

ἔπειτα Τήλεφον κατὰ μαντείαν παραγενόμενον εἰς Ἄργος ἰᾶται Ἀχιλλεὺς ὡς ἡγεμόνα γενησόμενον τοῦ ἐπ' Ἴλιον πλοῦ. καὶ τὸ δεύτερον ἠθροισμένου τοῦ στόλου ἐν Αὐλίδι Ἀγαμέμνων ἐπὶ θηρῶν βαλὼν ἔλαφον ὑπερβάλλειν ἔφησε καὶ τὴν Ἄρτεμιν. μηνίσασα δὲ ἡ θεὸς ἐπέσχεν αὐτοὺς τοῦ πλοῦ χειμῶνας ἐπιπέμπουσα. Κάλχαντος δὲ εἰπόντος τὴν τῆς θεοῦ 45 μῆνιν καὶ Ἰφιγένειαν κελεύσαντος θύειν τῆι Ἀρτέμιδι, ὡς ἐπὶ γάμον αὐτὴν Ἀχιλλεῖ μεταπεμψάμενοι θύειν ἐπιχειροῦσιν. Ἄρτεμις δὲ αὐτὴν ἐξαρπάσασα εἰς Ταύρους μετακομίζει καὶ ἀθάνατον ποιεῖ, ἔλαφον δὲ ἀντὶ τῆς κόρης παρίστησι τῶι βωμῶι.

ἔπειτα καταπλέουσιν εἰς Τένεδον. καὶ εὐωχουμένων αὐτῶν Φιλοκτήτης 50 ὑφ' ὕδρου πληγεὶς διὰ τὴν δυσοσμίαν ἐν Λήμνωι κατελείφθη, καὶ Ἀχιλλεὺς ὕστερος κληθεὶς διαφέρεται πρὸς Ἀγαμέμνονα.

ἰσχουσι καὶ ταύτην ἐπόρθουν, Τροίαν νομίζοντες εἶναι. βασιλεύων δὲ Τήλεφος Μυσῶν, Ἡρακλέους παῖς, ἰδὼν τὴν χώραν λεηλατουμένην, τοὺς Μυσοὺς καθοπλίσας ἐπὶ τὰς ναῦς συνεδίωκε τοὺς Ἕλληνας καὶ πολλοὺς ἀπέκτεινεν, ἐν οἷς καὶ Θέρσανδρον τὸν Πολυνείκους ὑποστάντα. ὁρμήσαντος δὲ Ἀχιλλέως ἐπ' αὐτὸν οὐ μείνας ἐδιώκετο· καὶ διωκόμενος ἐμπλακεὶς εἰς ἀμπέλου κλῆμα (ἀμπέλου κλήματι dub. Frazer in ap. crit.) τὸν μηρὸν τιτρώσκεται δόρατι. τῆς δὲ Μυσίας ἐξελθόντες Ἕλληνες ἀνάγονται. cf. fr. 20 | vid. et. Pind. Isth. 8, 48ss

41 de re cf. Apollodor. Epit. 3, 19 συνελθόντων δὲ αὐτῶν ἐν Ἄργει αὖθις . . ., ἐν ἀπορίαι τοῦ πλοῦ πολλῆι καθεστήκεσαν, καθηγεμόνα μὴ ἔχοντες, ὃς ἦν δυνατὸς δεῖξαι τὴν εἰς Τροίαν. Τήλεφος δὲ ἐκ τῆς Μυσίας, ἀνίατον τὸ τραῦμα ἔχων, εἰπόντος αὐτῶι τοῦ Ἀπόλλωνος τότε τεύξεσθαι θεραπείας, ὅταν ὁ τρώσας ἰατρὸς γένηται, . . . εἰς Ἄργος ἀφίκετο, καὶ δεηθεὶς Ἀχιλλέως καὶ ὑπεσχημένος τὸν εἰς Τροίαν πλοῦν δεῖξαι θεραπεύεται ἀποξύσαντος Ἀχιλλέως τῆς Πηλιάδος μελίας τὸν ἰόν. θεραπευθεὶς οὖν ἔδειξε τὸν πλοῦν, τὸ τῆς δείξεως ἀσφαλὲς πιστουμένου τοῦ Κάλχαντος διὰ τῆς ἑαυτοῦ μαντικῆς | cf. fr. 22 || **43** θηρῶν Seve. : θήραν **FHi** : θήραν ἐξιὼν καὶ **G** || **45** cf. fr. 23 || **50** cf. Apollodor. Epit. 3, 23 οἱ δὲ ἀναχθέντες ἐξ Αὐλίδος προσέσχον Τενέδωι. incertum est utrum Cypriis Tenae historia (cf. Apollodor. Epit. 3, 26, Paus. 10, 14, 2ss, Tzetz. in Lycophr. Alex. 232, Schol. Hom. *A* 38, Eust. in Il. p. 33, 24ss, Plut. Quaest. Gr. 28 p. 297d) tribuenda sit, ut putat Jouan, Euripide 306, necne || **51** cf. Apollodor. Epit. 3, 27 τελούντων δὲ αὐτῶν Ἀπόλλωνι θυσίαν, ἐκ τοῦ βωμοῦ προσελθὼν ὕδρος δάκνει Φιλοκτήτην· ἀθεραπεύτου δὲ τοῦ ἕλκους καὶ δυσώδους γενομένου τῆς τε ὀδμῆς οὐκ ἀνεχομένου τοῦ στρατοῦ, Ὀδυσσεὺς αὐτὸν εἰς Λῆμνον μεθ' ὧν εἶχε τόξων Ἡρακλείων ἐκτίθησι κελεύσαντος Ἀγαμέμνονος (cf. Frazer ad loc.), Schol. Hom. *B* 721 (Ludw., Textkr. Unt. IV 6) ἱστόρηται ὅτι Φιλοκτήτης ἐν Λήμνωι καθαίρων τὸν βωμὸν τῆς Χρυσῆς καλουμένης Ἀθηνᾶς ἐδήχθη ὑπὸ ὕδρου· καὶ ἀνιαρῶι τραύματι περιπεσὼν κατελείφθη αὐτόθι ὑπὸ τῶν Ἑλλήνων | in piaculo post Tenae mortem sec. Bethe, Troisch. Epenkreis 242, quod mihi veri simile videtur | de Philoctete cf. Milani, Il mito di Filottete nella letteratura classica e nell'arte figurata, Firenze 1879; Corssen Philologus 66, 1907, 346ss; Rob., Heldens. 1093ss; Radermacher, Mélanges Grégoire 504ss; Jouan, Euripide 313ss || **52** cf. fr. 25

ἔπειτα ἀποβαίνοντας αὐτοὺς εἰς Ἴλιον εἴργουσιν οἱ Τρῶες, καὶ θνήισκει Πρωτεσίλαος ὑφ' Ἕκτορος. ἔπειτα Ἀχιλλεὺς αὐτοῖς τρέπεται ἀνελὼν Κύκνον τὸν Ποσειδῶνος. καὶ τοὺς νεκροὺς ἀναιροῦνται. καὶ διαπρεσβεύονται πρὸς τοὺς Τρῶας, τὴν Ἑλένην καὶ τὰ κτήματα ἀπαιτοῦντες. ὡς δὲ οὐχ ὑπήκουσαν ἐκεῖνοι, ἐνταῦθα δὴ τειχομαχοῦσιν.

ἔπειτα τὴν χώραν ἐπεξελθόντες πορθοῦσι καὶ τὰς περιοίκους πόλεις. καὶ μετὰ ταῦτα Ἀχιλλεὺς Ἑλένην ἐπιθυμεῖ θεάσασθαι, καὶ συνήγαγεν αὐτοὺς εἰς τὸ αὐτὸ Ἀφροδίτη καὶ Θέτις.

εἶτα ἀπονοστεῖν ὡρμημένους τοὺς Ἀχαιοὺς Ἀχιλλεὺς κατέχει. κἄπειτα ἀπελαύνει τὰς Αἰνείου βοῦς, καὶ Λυρνησσὸν καὶ Πήδασον πορθεῖ καὶ συχνὰς τῶν περιοικίδων πόλεων, καὶ Τρωΐλον φονεύει. Λυκάονά τε

53 cf. Apollodor. Epit. 3, 29 *Ἀχιλλεῖ δὲ ἐπιστέλλει Θέτις πρῶτον μὴ ἀποβῆναι τῶν νεῶν· τὸν γὰρ ἀποβάντα πρῶτον πρῶτον μέλλειν τελευτήσειν. πυθόμενοι δὲ οἱ βάρβαροι τὸν στόλον ἐπιπλεῖν* (Bücheler : *πλεῖν* S), *σὺν ὅπλοις ἐπὶ τὴν θάλασσαν ὥρμησαν καὶ βάλλοντες πέτροις ἀποβῆναι ἐκώλυον. τῶν δὲ Ἑλλήνων πρῶτος ἀπέβη τῆς νεὼς Πρωτεσίλαος, καὶ κτείνας οὐκ ὀλίγους τῶν βαρβάρων ὑφ' Ἕκτορος θνήσκει*, vid. et. Frazer ad loc. et fr. 26 || **55** de Cycni morte cf. Apollodor. Epit. 3, 31 *Πρωτεσιλάου δὲ τελευτήσαντος ἐκβαίνει μετὰ Μυρμιδόνων Ἀχιλλεὺς καὶ λίθον ⟨βα⟩λὼν εἰς τὴν κεφαλὴν Κύκνου κτείνει. ὡς δὲ τοῦτον νεκρὸν εἶδον οἱ βάρβαροι, φεύγουσιν εἰς τὴν πόλιν, οἱ δὲ Ἕλληνες ἐκπηδήσαντες τῶν νεῶν ἐνέπλησαν σωμάτων τὸ πεδίον καὶ κατακλείσαντες τοὺς Τρῶας ἐπολιόρκουν· ἀνέλκουσι δὲ τὰς ναῦς* | de Cyceno cf. Monro, Journ. Hell. Stud. 5, 1884, 9 | cf. *Γ* 205ss, Schol. Hom. *Γ* 206, Apollodor. Epit. 3, 28 *ἀναχθέντες δὲ ἀπὸ τῆς Τενέδου προσέπλεον Τροίαι, καὶ πέμπουσιν Ὀδυσσέα καὶ Μενέλαον τὴν Ἑλένην καὶ τὰ χρήματα ἀπαιτοῦντας. συναθροισθείσης δὲ παρὰ τοῖς Τρωσὶν ἐκκλησίας, οὐ μόνον τὴν Ἑλένην οὐκ ἀπεδίδουν ἀλλὰ καὶ τούτους κτείνειν ἤθελον. ἀλλὰ τοὺς μὲν ἔσωσεν Ἀντήνωρ, οἱ δὲ Ἕλληνες, ἀχθόμενοι ἐπὶ τῇ τῶν βαρβάρων καταφρονήσει, ἀναλαβόντες τὴν πανοπλίαν ἔπλεον ἐπ' αὐτούς* || **59** de Achillis et Helenae congressu cf. Lycophr. Alex. 171ss, Schol. Hom. *Γ* 140; Seve., Cycle 303s; Griffin, Journ. Hell. Stud. 97, 1977, 44 et adn. 33 (contra Bethe, Troisch. Epenkreis 243) || **61** seditionis caput Thersitam esse censet Ebert, Philologus 113, 1969, 170ss, cf. et. Rankin, Symb. Osl. 47, 1972, 59s || **62** de Aeneae armentis cf. *Y* 90ss, 188ss, vid. et. Apollodor. Epit. 3, 32 *παραλαβὼν δὲ Ἀχιλλεύς τινας τῶν ἀριστέων τὴν χώραν ἐπόρθει, καὶ παραγίνεται εἰς Ἴδην ἐπὶ τὰς Αἰνείου {τοῦ Πριάμου}* (secl. Frazer : *καὶ Πριάμου* Wagner) *βόας. φυγόντος δὲ αὐτοῦ, τοὺς βουκόλους κτείνας καὶ Μήστορα* (Kerameus : *Καμήστορα* S) *τὸν Πριάμου τὰς βόας ἐλαύνει* | *Λυρνησσὸν* Seve. : *Λυρνεσσον* *F : *Λυρνησὸν* g | cf. *B* 691, *Z* 397, *Y* 91; 191, vid. et. Apollodor. Epit. 3, 33 *αἱρεῖ δὲ καὶ Λέσβον καὶ Φώκαιαν* (Kerameus : *Φωκέας* S), *εἶτα Κολοφῶνα καὶ Σμύρναν καὶ Κλαζομενὰς καὶ Κύμην, μεθ' ἃς Αἰγιαλὸν καὶ Τῆνον* (*Τῆμνον* Kerameus : *Τίειον* Wagner), {*τὰς ἑκατὸν καλουμένας πόλεις*} (secl. Kerameus)· *εἶτα ἑξῆς Ἀδραμύτιον καὶ Σίδην* (*Ἴδην* vel *Σιδήνην* Kerameus : *Σίγην* Wagner coll. Steph. Byz. s. v. *Σίγη*), *εἶτα Ἔνδιον καὶ Λιναῖον* (*Κίλλαιον* Kerameus : *Αἰνέαν* Wagner) *καὶ Κολώνην* (*Καλλικολώνην* Kerameus, at *Κολώνην* def. Wagner coll. Diod. 5, 83, 1, Strab. 13, 1, 46 p. 604). *αἱρεῖ δὲ καὶ Θήβας τὰς Ὑποπλακίας καὶ Λυρνησσόν, ἔτι δὲ καὶ ⟨Ἀντ⟩ανδρον* (Kerameus) *καὶ ἄλλας πολλάς* || **63** de Troili morte cf. fr. °41 | cf. *Φ* 34ss, *Ψ* 746ss, vid. et. Apollodor. Epit. 3, 32 *καὶ νυκτὸς ἐλθὼν ἐπὶ τὴν πόλιν* (sc. *Ἀχιλλεύς*) *Λυκάονα λαμβάνει*

Πάτροκλος εἰς Λῆμνον ἀγαγὼν ἀπεμπολεῖ. καὶ ἐκ τῶν λαφύρων Ἀχιλλεὺς μὲν Βρισηΐδα γέρας λαμβάνει, Χρυσηΐδα δὲ Ἀγαμέμνων. 65

ἔπειτά ἐστι Παλαμήδους θάνατος, καὶ Διὸς βουλὴ ὅπως ἐπικουφίσηι τοὺς Τρῶας Ἀχιλλέα τῆς συμμαχίας τῆς Ἑλλήνων ἀποστήσας, καὶ κατάλογος τῶν τοῖς Τρωσὶ συμμαχησάντων.

ΚΥΠΡΙΑ

auctor Stasinus Cyprius saec. VII

1 (1 K., A., B., X.)

ἦν ὅτε μυρία φῦλα κατὰ χθόνα πλαζόμεν' αἰεὶ
⟨ἀνθρώπων ἐπίεζε⟩ βαρυστέρνου πλάτος αἴης,

1 (I) Schol. Hom. *A* 5 (Ludw., Textkr. Unt. I 10) *Διὸς βουλὴν*] . . . *ἄλλοι δὲ ἀπὸ ἱστορίας τινὸς εἶπον εἰρηκέναι τὸν Ὅμηρον· φασὶ γὰρ τὴν Γῆν βαρουμένην ὑπὸ*

1 1 GVI I 1021 Peek *ἦν ὅτε* | *P* 220 *μυρία φῦλα* (cf. Choer. fr. 3, 2) | Hymn. Hom. 15, 4–5 *κατὰ γαῖαν . . . / πλαζόμενος* | Hymn. Merc. 517 *κατὰ χθόνα* || 1–2 *η* 307 *ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων* | *γ* 282 al. *φῦλ' ἀνθρώπων* || 2 Pind. Nem. 9, 25 *βαθύστερνον χθόνα* | Hes. Th. 117 *Γαῖ' εὐρύστερνος*

66 cf. fr. 30 || 68 de Troum catalogo cf. *B* 816–877, Apollodor. Epit. 3, 34, cf. et. Monro, Journ. Hell. Stud. 5, 1884, 7; Allen, Class. Quart. 2, 1908, 82 || 1 initium carminis sec. Xydas ad fr. 1 p. 47 (coll. Orph. fr. 292 Kern *ἦν χρόνος* etc.) sed prooemio posterius sec. Bethe, Troisch. Epenkreis 155 ad fr. 1; Seve., Début des Chants Cypriens 10 (292); Kranz, Sphragis, Studien z. ant. Literatur 30, quibus adstipulor | Cypriorum prooemium idem (vel non multo differens) atque Hymn. Ven. 1–3 fuisse credit Càssola, Stud. It. Filol. Class. 26, 1952, 143 et adn. 4, quod demonstrari non potest | de huius fragmenti historia multa disseruerunt viri docti, vid. Köhler, Rh. Mus. 13, 1858, 316s; Sodano, Annali Fac. Lett. Filos. Napoli 3, 1953, 85ss; Kullmann, Philologus 99, 1955, 167ss (et. Quellen 47ss, 227ss); Vos, *Θέμις*, Assen 1956, 53ss; Karouzos, *Πρακτικὰ τῆς Ἀκαδ. Ἀθηνῶν* 32, 1957, 225ss; Schwartzbaum, Numen 4, 1957, 69ss; Webster, From Mycenae to Homer 181s; Valk, Researches I 311s; Reeves, Class. Journ. 61, 1965–1966, 211ss; Seve., Début des Chants Cypriens, Amsterdam 1965; Jouan, Euripide 41ss; Marcovich, Quad. Urb. 8, 1969, 22ss; Untersteiner, La fisiologia del Mito, Firenze ²1972, 171ss || 1 *οὖν* **F**ʳ | *φύλα καταχθόνα* **F**ᵃ | *πλαζόμεν' αἰεί* Ebert (coll. *ρ* 245s *ἀλαλημένος αἰεὶ / ἄστυ κατ'* etc.) : *πλαζόμενά περ* **F**ᵃ : *πλαζόμενα* cett. : *πλαζομένων περ* Ludw. : *πλαζόμεν' ἀνδρῶν* Barnes, prob. Köhler, Schndw. : *πλαζόμεν' ἀμφὶς* Peppmüller : *φῦλα βροτῶν ἀλαλήμενα λίην* Ribbeck || 2 ⟨*ἀνθρώπων ἐπίεζε*⟩ Ebert, qui *βαρυστέρνου* (hapax) recte prolepticum putat | *βαρυστόνου* **AJ** : *βαθυστέρνου* edd. : *εὐρυστέρνου* Schndw. : lacunam aliter explere conati sunt alii viri docti : ⟨*ἀνθρώπων ἐ*⟩*βάρυ*⟨*νε βαθυ*⟩*στέρνου* Peppmüller et Ludw. : ⟨*παμπληθεὶ σκεπάσαντο*⟩ Barnes : *χθόνα* ⟨*πουλυβότειραν*⟩ *πλαζόμενα* ⟨*στρωφᾶτο*⟩ Baumgarten-Crusius : ⟨*μητέρα πάντων*⟩ *πλαζόμενα* ⟨*στείνεσκε*⟩ Lehrs : ⟨*ἐκπάγλως ἐπίεζε*⟩ Welck. : ⟨*ἐκπάγλως ἐβάρυν'*⟩ Schndw. : ⟨*ἐκπάγλως ἀπόλεσσε*⟩ Xydas : ⟨*ἄχθεϊ εὐρὺ βάρυνε*⟩ Boissonnade : ⟨*οἱ μὲν ἐφυβρίζοντο*⟩ Müller : ⟨*ὑβριστῶν ἐβάρυν'*⟩ Ribbeck : *πλαζόμενα* ⟨*στείβεσκε*⟩ Näke : *χθόνα* ⟨*πάντοθεν ἀνδρῶν*⟩ *πλαζομένων* ⟨*ἐβάρυνε*⟩ vel *ἦν ὅτε μυρία* ⟨*πᾶσαν ἀνὰ*⟩ *χθόνα φῦλ'* ⟨*ἀνθρώπων*⟩ *πλαζομένων* ⟨*ἐβάρυνε*⟩ Köch. | *πλάτους* **Y**ᵇ | *ἐπ' αἴης* **F**ᵃ

Ζεὺς δὲ ἰδὼν ἐλέησε καὶ ἐν πυκιναῖς πραπίδεσσι
κουφίσαι ἀνθρώπων παμβώτορα σύνθετο γαῖαν,

ἀνθρώπων πολυπληθίας, μηδεμιᾶς ἀνθρώπων οὔσης εὐσεβείας, αἰτῆσαι τὸν Δία κουφισθῆναι τοῦ ἄχθους· τὸν δὲ Δία πρῶτον μὲν εὐθὺς ποιῆσαι τὸν Θηβαϊκὸν πόλεμον, δι' οὗ πολλοὺς πάνυ ἀπώλεσεν. ὕστερον δὲ πάλιν — συμβούλωι τῶι Μώμωι χρησάμενος, ἣν Διὸς βουλὴν Ὅμηρός φησιν — ἐπειδὴ οἷός τε ἦν κεραυνοῖς ἢ κατακλυσμοῖς πάντας διαφθείρειν, ὅπερ τοῦ Μώμου κωλύσαντος, ὑποθεμένου δὲ αὐτῶι γνώμας δύο, τὴν Θέτιδος θνητογαμίαν καὶ θυγατρὸς καλὴν γένναν, ἐξ ὧν ἀμφοτέρων πόλεμος Ἕλλησί τε καὶ βαρβάροις ἐγένετο, ἀφ' οὗ συνέβη κουφισθῆναι τὴν Γῆν, πολλῶν ἀναιρεθέντων. ἡ δὲ ἱστορία παρὰ Στασίνωι (Barnes : *τασίνωι* **AU**^{b} : *τασίνω* **Y**^{b} : *τὰ σείνω* **R** : *ταρασίνωι* **VO** : *ταρασίω* **F**^{q} : *ταρσίνω* **W**^{b} : *τερασίνωι* **D**^{c}**F**^{r}**JR**^{a}**Y**) *τῶι τὰ Κύπρια πεποιηκότι, εἰπόντι οὕτως·* [1–7] ‖ (II) Anecd. Oxon. IV 405, 6 Cramer *Διὸς δὲ ἐτελείετο βουλή*] *οἱ μὲν λέγουσιν ὅτι τὴν Γῆν βαρουμένην ὑπὸ πολυπληθυίας ἀνθρώπων, καὶ μηδεμιᾶς οὔσης εὐσεβείας, αἰτῆσαι τὸν Δία κουφισθῆναι τοῦ ἄχθους· . . . καὶ πάλιν τῶν ἀνθρώπων ζώντων ἐν ἀσεβείαι ἠθέλησεν ὁ Ζεὺς ποιῆσαι τὸν Θηβαϊκὸν πόλεμον, δι' οὗ πολλοὺς ἀπώλεσε πάνυ. ὕστερον δὲ πάλιν χρησάμενος ὁ Ζεὺς συμβούλωι τῶι Μώμωι, ἐπειδὴ οἷός τε ἦν κεραυνοῖς φθεῖραι πάντας, ὑπὸ τούτου ἐκωλύθη· ὑποθεμένου δὲ τοῦ Μώμου τῶι Διὶ γνώμας δύο, τὴν θνητογαμίαν τῆς Θέτιδος καὶ θυγατρὸς καλὴν γένναν, ἤγουν τῆς Ἑλένης, θυγάτηρ ἦν αὕτη Διός, ἐγένετο πόλεμος μέγας τοῖς Ἕλλησι καὶ τοῖς βαρβάροις, ὑφ' οὗ συνέβη κουφισθῆναι τὴν Γῆν. καὶ ταῦτα μὲν οὕτω τὰ παρὰ τοῖς νεωτέροις ἱστορούμενα περὶ τῆς τοῦ Διὸς βουλῆς* ‖ (III) Schol. Eur. Or. 1641 (I 236, 4 Schw.) *ἱστορεῖται ὅτι ἡ Γῆ βαρουμένη τῶι πλήθει τῶν ἀνθρώπων ἠξίωσε τὸν Δία ἐλαφρῦναι αὐτῆς τὸ βάρος· τὸν δὲ Δία εἰς χάριν αὐτῆς συγκροτῆσαι τόν τε Θηβαϊκὸν πόλεμον καὶ τὸν Ἰλιακόν, ἵνα τῶν πολλῶν ἀναιρεθέντων κουφισμὸς γένηται* ‖ (IV) Eust. in Il. p. 20, 13 *τινὲς δὲ βουλὴν Διὸς εἶπον τὸ τὴν Γῆν, ὡς καὶ ὁ Εὐριπίδης ἐν Ὀρέστηι* (1639–1642) *μυθολογεῖ, κουφίσαι βαρουμένην τῶι τῶν λαῶν φόρτωι κατὰ τὴν αὐτῆς αἴτησιν. οὐ χάριν, φασί, τόν τε Θηβαϊκὸν τὰ πρῶτα συνεστήσατο πόλεμον καὶ μετ' ἐκεῖνον συνήγαγεν ἐπὶ φθορᾶι Τρῶας καὶ Ἕλληνας, Μώμου, φασί, συμβουλευσαμένου, μὴ κεραυνοῖς ἢ κατακλυσμοῖς πάντα διαφθεῖραι, ἀλλ' εὐμεθόδως ἄλλως, καὶ ὑποθεμένου τήν τε τῆς Θέτιδος θνητογαμίαν, ἀφ' ἧς ὁ Ἀχιλλεύς, καὶ θυγατρὸς καλῆς γέννησιν, τῆς Ἑλένης δηλαδή, δι' ἣν τὰ κατὰ Τροίαν ἐγένοντο, πεσόντων πολλῶν, καὶ δι' Ἀχιλλέα τὰ μὲν πολεμοῦντα, τὰ δὲ μηνίοντα.* cf. Tzetz. Ex. Il. p. 67, 4 Hermann

3 Hes. fr. 10 (a), 89 West *Ζ*[*εὺς δὲ ἰδών*] | *Ο* 12 al. *δὲ ἰδὼν ἐλέησε* | Hymn. Ven. 210 *καί μιν Ζεὺς ἐλέησε* | *Α* 608 al. *η* 92 Nost. fr. 7, 2 *ἰδυίησι πραπίδεσσι* | *Ξ* 294 Hymn. Ven. 38 *πυκινὰς φρένας* ‖ 4 Hes. Op. 463 *ἔτι κουφίζουσαν ἄρουραν* | Soph. Phil. 391 *παμβῶτι Γᾶ* | Eur. Hel. 39–40 *ὡς ὄχλου βροτῶν / πλήθους τε κουφίσειε μητέρα χθόνα* | Eur. Or. 1641–1642 *ὡς ἀπαντλοῖεν χθονὸς / ὕβρισμα θνητῶν ἀφθόνου πληρώματος*

3 *δὲ* om. **J** : *δέ τε* **F**^{q} | *ἐλέησεν* **A** : *ἠλέησε* **JY**^{b} : *ἄλγησε* **W**^{b} : *ὤκτειρ' ἄρα* **F**^{q} | *ἐν* om. **D**^{c}**F**^{r}**Y** | *πυκναῖς* **JR**^{a} : *πυκίναισι* **F**^{q} : *πυκινῆις* Schndw. | *πραπίδαισι* **F**^{q} : *πραπίδεσσιν* **W**^{b} ‖ 4 *σύνθετο* (*συνέθετο* **J** : *ξύνθετο* Baumgarten-Crusius) *κουφίσαι παμβώτορα* (*παν*β- **F**^{q} : *παμβότερα* **P** : *παμβότειραν* **W**^{b}) *γαῖαν* (*γαίην* **D**^{c}(?)**JY**^{b}**F**^{q}**W**^{b} : *γαίης* **RAV**) *ἀνθρώπων* Schol. : corr. Ribbeck : *σύνθ. κουφ. ἀνθ. παμβ. γ.* **R**^{a} edd. : *κουφίζειν θνητῶν π. γ.* Wassenbergh : *κουφίσσαι ἀνδρῶν π. γ.* Wolf : *κουφίσσαι μερόπων π. γ.* Baumgarten-Crusius : *κουφίσσαι βάρεος π. γ.* Schndw. : *σύνθετο κουφίσσαι π. γῆν ἀνθρώπων* Peppmüller | *παμβώτορα* hapax ‖ 4–6 cf. Hes. Op. 156ss

ῥιπίσσας πολέμου μεγάλην ἔριν Ἰλιακοῖο, 5
ὄφρα κενώσειεν θανάτωι βάρος. οἱ δ' ἐνὶ Τροίηι
ἥρωες κτείνοντο, Διὸς δ' ἐτελείετο βουλή.

2 (2 A., B., X.)

(I) PHILODEM. De piet. (P. Hercul. 1602 V 6ss in Hercul. vol. coll. alt. VIII 105, vid. et. Reitzenstein, Hermes 35, 1900, 73s; Luppe, Mus. Helv. 43, 1986, 61–67 [*καί*] *φασιν* [- - - *καὶ ὁ τ*]*ὰ Κύπ*[*ρια γράψας τῆι Ἥ*]*ραι χαρ*[*ιζομένη*]*ν* (sc. *Θέτιν*) *φεύγειν αὐ*[*τὴν τὸ*]*ν γάμον Δ*[*ιός, τὸν δ' ὁ*]*μόσαι χολω*[*θέντ*]*α διότι θνη*[*τῶι συ*]-*νοικίσει. κα*[*ὶ παρ' Ἡ*]*σιόδω*⟨*ι*⟩ (fr. 210 M.-W.) *δὲ κε*[*ῖται τ*]*ὸ παραπλήσ*[*ιον*] || 5
(II) APOLLODOR. Bibl. 3, 13, 5 *τινὲς δὲ λέγουσι Θέτιν μὴ βουληθῆναι Διὶ συνελθεῖν ὡς ὑπὸ Ἥρας τραφεῖσαν, Δία δὲ ὀργισθέντα θνητῶι θέλειν αὐτὴν συνοικίσαι* ||
(III) SCHOL. Hom. *Σ* 432b (IV 520 Erbse) *καὶ πῶς φησιν Ἥρα· 'καὶ ἀνδρὶ πόρον παράκοιτιν'* (*Ω* 60); *ἢ ὅτι τῶν συμβαινόντων τῶι Διὶ τὴν αἰτίαν ἀναφέρουσιν ὡς ἄρχοντι. ἢ κατὰ τὴν νέαν ἱστορίαν ὅτι αὐτὸς αὐτῆι αἴτιος γέγονε τοῦ γάμου.* 10

5 Aristoph. Ran. 359–360 *στάσιν ἐχθρὰν . . . / ῥιπίζει* | *P* 253 *ἔρις πολέμοιο* | *Ξ* 389 *ἔριδα πτολέμοιο* | Strab. 1, 2, 9 p. 20 *Ἰλιακὸν πόλεμον* || 7 *A* 5 *λ* 297 *Διὸς δ' ἐτελείετο βουλή* (cf. *M* 235–236 *N* 524 *Y* 15 *ν* 127 Hes. Th. 465; 730 Op. 79; 99 Sc. 318) | Ibyc. fr. 1, 4 Page (= S 151) *Ζη*]*νὸς μεγάλοιο βουλαῖς* | Eur. Hel. 36–37 *τὰ δ' αὖ Διὸς / βουλεύματα* | Eur. fr. 1082 N.[2] *Ζεὺς γὰρ κακὸν μὲν Τρωσί, πῆμα δ' Ἑλλάδι / θέλων γενέσθαι, ταῦτ' ἐβούλευσεν πατήρ*

5 *ῥιπίσσας* Wolf : *ῥιπίσας* $\mathbf{R^aY^b}$ edd. : *ριπίσαι* (*ρ* in ras.) *τὲ* **A**; unde *ῥιπίσσαι τε* Schndw. : *ῥιπίσαι* cett. : *ἐσριπίσας* vel *ἐρριπίσας* Baumgarten-Crusius : *ῥιπίζων* Wassenbergh : *ῥίπισε δὲ* Ludw. | *πολέμου* om. $\mathbf{W^b}$: *πτολέμου* Ludw. : *πόνου* Schndw. | *ἡλιακοῖο* $\mathbf{F^r}$: *ἰλικοῖς* $\mathbf{F^q}$: *Ἰλιακοῦ* $\mathbf{W^b}$ | de *Ἰλιακοῖο* cf. Wack., Sprachl. Untersuch. 82 || 6 de *κενώσειεν* et *βάρος* ib. 182, vid. et. Page, adversus Kullmannianam coniecturam, Class. Rev. 11, 1961, 209 | *κενώσειε* $\mathbf{AVD^cF^rJR^aF^qW^bY}$ | *θανάτωι* edd. : *θανάτ*$^{\tau}$ $\mathbf{F^q}$: *θανάτου* Schol. : *θανάτοις* Wassenbergh | *οἱ* $\mathbf{R^q}$ | *δ' ἐνὶ* $\mathbf{R^a}$ edd. : *δὲ ἐν* cett. | *Τρόϊη* $\mathbf{F^q}$: *Τροία* $\mathbf{VW^b}$: *τη Τροιη* **J** || 7 *διός* **Jl** | *Διὸς — βουλή* om. $\mathbf{D^cF^rY}$ | de *Διὸς βουλή* cf. Welck., Ep. Cyclus II 112; Seve., Cycle 246; Kullmann, Philologus 99, 1955, 167ss (praecipue 180; vid. contra Marcovich, Quad. Urb. 8, 1969, 28ss); Jouan, Euripide 44 adn. 4; 45ss, vid. et. Schol. Hom. *A* 5–6 (I 10 Erbse) *Ἀρίσταρχος συνάπτει, ἵνα μὴ προοῦσά τις φαίνηται βουλὴ καθ' Ἑλλήνων, ἀλλ' ἀφ' οὗ χρόνου ἐγένετο ἡ μῆνις, ἵνα μὴ τὰ παρὰ τοῖς νεωτέροις πλάσματα δεξώμεθα* || de *ὕβρις* apud Cypria (vid. Test. ad fr. 1 *μηδεμιᾶς ἀνθρώπων οὔσης εὐσεβείας*) cf. Del Grande, Hybris, Napoli 1947, 34 et quae recte obiecit Jouan, Euripide 43 adn. 3 || dubium est utrum Momus (de quo vid. Test. ad fr. 1) in Cypriis fuerit necne, cf. Welck., Ep. Cyclus II 86s; Bethe, Troisch. Epenkreis 228; Kullmann, Philologus 99, 1955, 180; 182; Pearson, Soph. fr. II 77; Jouan, Euripide 46 || 2 vid. et. *Ω* 58–73 || 2–3 *καί . . . τ*]*ὰ Κύπ*[*ρια* suppl. Luppe : *ὁ δὲ τ*]*ὰ Κύπ*[*ρια* Reitzenstein || 3 *γράψας τῆι* Luppe : *ποιήσας* Reitzenstein | *χαρ*[*ιζομένη*]*ν* suppl. Reitzenstein | *αὐ*[*τὴν τὸ*]*ν* Luppe : *αὐ*[*τοῦ* (sc. *Διὸς*) *τὸ*]*ν* Reitzenstein || 4 *Δ*[*ιός, τὸν δ' ὀμ*]*όσαι* Luppe : *Δ*[*ία δὲ ὀμ*]*όσαι* Reitzenstein | *χολω*[*θέντ*]*α . . . παραπλήσ*-[*ιον*] suppl. Reitzenstein | *ονη*[. . . . .]*νοικησει* delin. | *θνη*[*τῶι* ⟨*αὐτὴν*⟩ Luppe || 7 *συνοικίσειν* **E** : *συνοικῆσαι* **A** : corr. Staverenus || 8 *ἡ Ἥρα* **b** fortasse rectius || 9 *νεωτέραν* dub. prop. Seve. | comparat Apollodor. locum cum Philodemeo Lippold, Philologus 68, 1909, 152 | e carminis 'prologue dans le ciel' sec. Seve., Cycle 249 | de Thetidos et Pelei nuptiis vid. et. Eur. Iph. Aul. 1036ss et Jouan, Euripide 68ss | de re vid. et. Rob., Heldens. 65ss; Sodano, Annali Fac. Lett. Filos.

3 (2 K., 3 A., B., X.)

(I) SCHOL. Hom. *Π* 140 (II 99, 20 Dind.) *κατὰ γὰρ τὸν Πηλέως καὶ Θέτιδος γάμον οἱ θεοὶ συναχθέντες εἰς τὸ Πήλιον ἐπ' εὐωχίαι ἐκόμιζον Πηλεῖ δῶρα, Χείρων δὲ μελίαν εὐθαλῆ τεμὼν εἰς δόρυ παρέσχεν, φασὶ μὲν Ἀθηνᾶν ξέσαι αὐτό, Ἥφαιστον δὲ κατασκευάσαι. τούτωι δὲ τῶι δόρατι καὶ Πηλεὺς ἐν ταῖς μάχαις ἠρίστευσε καὶ μετὰ* 5 *ταῦτα Ἀχιλλεύς. ἡ ἱστορία παρὰ τῶι τὰ Κύπρια ποιήσαντι* ‖ (II) APOLLODOR. Bibl. 3, 13, 5 *γαμεῖ δὲ ἐν τῶι Πηλίωι, κἀκεῖ θεοὶ τὸν γάμον εὐωχούμενοι καθύμνησαν. καὶ δίδωσι Χείρων Πηλεῖ δόρυ μείλινον, Ποσειδῶν δὲ ἵππους Βαλίον καὶ Ξάνθον· ἀθάνατοι δὲ ἦσαν οὗτοι.*

4 (3 K., 4 A., B., X.)

εἵματα μὲν χροῖ ἕστο, τά οἱ Χάριτές τε καὶ Ὧραι
ποίησαν καὶ ἔβαψαν ἐν ἄνθεσιν εἰαρινοῖσιν,

4 ATHEN. 15, 682d *ἀνθῶν δὲ στεφανωτικῶν μέμνηται ὁ μὲν τὰ Κύπρια ἔπη πεποιηκώς . . .* (seq. Test. 8) *λέγει δ' οὖν ὅστις ἐστὶν ὁ ποιήσας αὐτὰ ἐν τῶι α'* (*ια* codd.: corr. Heyne) *οὕτωσί·* [1–7]

4 1–2 *ϑ* 364–366 *ἔνθα δέ μιν Χάριτες λοῦσαν καὶ χρῖσαν ἐλαίωι / ἀμβρότωι . . . / ἀμφὶ δὲ εἵματα ἕσσαν ἐπήρατα* | Hes. Op. 73–76 *ἀμφὶ δέ οἱ Χάριτές τε θεαὶ καὶ πότνια Πειθὼ / ὅρμους χρυσείους ἔθεσαν χροΐ· ἀμφὶ δὲ τήν γε / Ὧραι καλλίκομοι στέφον ἄνθεσι εἰαρινοῖσιν* (cf. et. Hymn. Hom. 6, 5ss) ‖ 1 *Ψ* 67 *ϱ* 203 al. *περὶ χροΐ εἵματα ἕστο* (cf. *ζ* 61 al. *χ. εἵ. ἔχοντα, ψ* 115 *χ. εἵ. εἵματα* et al. similia) | Hymn. Apoll. 194 *Χάριτες καὶ εὐφρονες Ὧραι* (cf. Panyas. fr. 17, 1) ‖ 2 *B* 89 Hes.

Napoli 3, 1953, 81ss; Lesky, Stud. Ital. Filol. Class. 27–28, 1956, 216ss; Peleus, RE XIX 1 (1937) 271ss | ambigitur utrum in Cypriis Thetidos metamorphoses narratae sint necne, de quibus vid. Schol. Hom. *Σ* 434a (IV 520 Erbse) *πολλὰ μάλ' ⟨οὐκ ἐθέλουσα⟩ : ἐντεῦθεν οἱ νεώτεροι τὰς μεταμορφώσεις αὐτῆς φασιν*, Schol. Pind. Nem. 4, 101b (III 82, 3 Drachm.) *ὅτι δὲ καθ' ὃν καιρὸν ἡ Θέτις γάμωι συνήπτετο τῶι Πηλεῖ, εἴς τε πῦρ καὶ εἰς λέοντα καὶ εἰς διαφόρους ἰδέας μετέβαλλεν ἑαυτῆς τὴν φύσιν μὴ βουλομένη γαμηθῆναι τῶι Πηλεῖ*, cf. et. Eust. in Il. p. 1152, 9, Schol. Apoll. Rhod. 1, 582, Et. Gen. AB s. v. *Σηπίας*, Schol. Eur. Andr. 1265, Tzetz. in Lycophr. Alex. 175 (85, 3 Scheer), negant Welck., Ep. Cyclus II 132; Graef, Arch. Jahrb. 1, 1886, 199s; Kaiser, Peleus und Thetis I, Diss. München 1912, 19; Reitzenstein, Hermes 35, 1900, 77s; Bethe, Troisch. Epenkreis 230s; Lesky, Peleus, RE XIX 1 (1937) 288; 292; Kullmann, Quellen 230s | putaverunt in Cypriis eas metamorphoses narratas esse Rzach, Kyklos, RE XI 2 (1922) 2380; Seve., Cycle 252s; Herter, Nemesis, RE XVI 2 (1935) 2346; Mayer, Thetis, RE VI A 1 (1936) 209; 218; Sodano, Annali Fac. Lett. Filos. Napoli 3, 1953, 91ss; Jouan, Euripide 68ss, quibus adstipulor ‖ de re cf. et. Rob., Heldens. 66ss.; Lesky, Stud. It. Filol. Class. 27–28, 1956, 216ss; Detienne-Vernant, Les ruses de l'intelligence, 1974, 107ss

3 7 *δόρυ μείλινον*] de deorum muneribus vid. *P* 194ss, *Σ* 83ss, speciatim de lancea *Π* 140ss, *T* 387ss, *Φ* 162, *X* 133 | de Balio et Xantho cf. *Π* 148ss, *T* 400; vid. et. Diod. ap. Eust. in Il. p. 1190, 55 (6, 3 Vogel) *Διόδωρος δὲ λέγει κατὰ μυθικὴν ἱστορίαν Ξάνθον καὶ Βαλίον Τιτᾶνας εἶναι πρότερον, βοηθῆσαι δὲ τῶι Διί, Ξάνθον μὲν Ποσειδῶνος ἑταῖρον ὄντα, Βαλίον δὲ Διός· καὶ ἐν τῆι μάχηι ἀξιῶσαι μεταθέσθαι τὴν μορφήν, οἷα αἰδομένους ὁρᾶσθαι ὑπὸ τῶν ὁμογενῶν Τιτάνων, καὶ γενέσθαι τὴν αὐτῶν ἀξίωσιν. καὶ εἶναι τούτους τοὺς τῶι Πηλεῖ δοθέντας*, cf. Seve., Cycle 254; Sodano, Annali Fac. Lett. Filos. Napoli 3, 1953, 89s ‖ 8 cf. *Ψ* 277 *ἀθάνατοί τε γάρ εἰσι* ‖ 4 non de Helena (quod putavit Mein., Anal. Crit. Athen., 1867, 331) sed de Venere pulchre ornata ad subeundum Paridis iudicium, ut supposuit Welck., Ep. Cyclus II 88 ‖ 1 *ἱμάτια* A : em. Canter | *χροιᾶς τότε* (*χροιῆς*

οἷα φέρουσ' ὧραι, ἔν τε κρόκωι, ἔν θ' ὑακίνθωι,
ἔν τε ἴωι θαλέθοντι ῥόδου τ' ἐνὶ ἄνθεϊ καλῶι
ἡδέι νεκταρέωι, ἔν τ' ἀμβροσίαις καλύκεσσιν 5
αἰθέσι ναρκίσσου καλλιπνόου. ὧδ' Ἀφροδίτη
ὥραις παντοίαις τεθυωμένα εἵματα ἕστο.

5 (4 K., 5 A., B., X.)

ἣ δὲ σὺν ἀμφιπόλοισι φιλομμειδὴς Ἀφροδίτη

5 ATHEN. 15, 682f *οὗτος ὁ ποιητὴς καὶ τὴν τῶν στεφάνων χρῆσιν εἰδὼς φαίνεται δι' ὧν λέγει·* [1–5]

Th. 279 *ἄνθεσιν εἰαρινοῖσιν* | Hymn. Cer. 401s *ἄνθεσι γαῖ' εὐώδε[σιν] ἠαρινο[ῖσι] / παντοδαποῖς θάλλει* cf. Hermipp fr. 5 Kassel-Austin *ἀνθέων ὕφασμα καινὸν Ὥρῶν / λεπτοὺς . . . πέπλους ἀνθέων γέμοντας*

